18 ΣΑ

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

ΤΟΥ

ΑΓΙΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΓΕΩΡΓΙΟΥ

## ΤΟΥ ΚΩΔΩΝΑ

ΚΑΙ

ΤΑ ΤΗΣ ΕΥΡΕΣΕΩΣ ΤΗΣ ΠΑΝΣΕΠΤΟΥ ΑΥΤΟΥ ΕΙΚΟΝΟΣ

**ΚΑΤΑ ΤΗΝ ΝΗΣΟΝ ΠΡΙΓΚΙΠΟΝ**

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

*Ἐκδεδομένα*

**ΠΡΟΣ ΟΦΕΛΟΣ ΤΗΣ ΜΟΝΗΣ.**

ΕΝ ΑΘΗΝΑΙΣ,
1881.

ΤΥΠΟΙΣ «ΠΑΛΙΓΓΕΝΕΣΙΑΣ».

3272

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

ΤΟΥ

ΑΓΙΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΓΕΩΡΓΙΟΥ

## ΤΟΥ ΚΩΔΩΝΑ

ΚΑΙ

ΤΑ ΤΗΣ ΕΥΡΕΣΕΩΣ ΤΗΣ ΠΑΝΣΕΠΤΟΥ ΑΥΤΟΥ ΕΙΚΟΝΟΣ

**ΚΑΤΑ ΤΗΝ ΝΗΣΟΝ ΠΡΙΓΚΙΠΟΝ**

*Ἐκδεδομένα*

ΠΡΟΣ ΟΦΕΛΟΣ ΤΗΣ ΜΟΝΗΣ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
ΑΚΑΔΗΜΙΑ ΑΘ...
ΑΡ. 2207
ΒΙΒΛΙΟΘΗΚΗ ΣΙΔΕΡΙΔΟΥ
ΚΑΙ ΤΟΥΔΕ ΚΤΗΤΩΡ
ΞΕΝΟΦΩΝ Α. ΣΙΔΕΡΙΔΗΣ
ΕΝ ΚΩ/ΠΟΛΕΙ

ΕΝ ΑΘΗΝΑΙΣ,
1881.

Τύποις «Παλιγγενεσίας».

Τῷ 1857 προϊστάμενος Πορφύριος [illegible] Ἀνδρέας Πελοποννήσιος
[ἐν Καταλόγῳ συνδρομητῶν τῆς ἐν ἔτει 1857 ἐν Κ/πόλει ἐκδοθείσης
Ἀκολουθίας τῆς ἁγίας Εὐφημίας]

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## ΤΟΥ ΑΓΙΟΥ ΓΕΩΡΓΙΟΥ.

Τῇ Θεοτόκῳ. Ἦχος Δ'.

Τῷ ἐν ἀνάγκαις βοηθῷ ταχυτάτῳ, καὶ ἐν κινδύνοις ῥύστῃ ἀπροσμαχήτῳ, μετὰ σπουδῆς καὶ πίστεως γηθόμενοι νῦν, ἅπαντες πιστοὶ προσπέσωμεν εὐλαβῶς ἐν ναῷ αὐτοῦ κράζοντες, βοήθησον ἐκ βαθέων καρδίας, μεγαλομάρτυς ἔνδοξε Χριστοῦ, τροπαιοφόρε καὶ θαυματουργὲ Γεώργιε.

*Δόξα καὶ νῦν.*

Τῇ Θεοτόκῳ ἐκτενῶς κτλ.

*Κανών.*+ Ἁρματηλάτην Φαραὼ ἐβύθισε. Ἦχος Πλ. Δ'.

Τῆς εὐσεβείας γεωργός, Γεώργιε, ἀναδειχθεὶς τὰς ψυχὰς τῶν σοὶ προσφευγόντων, γεωργήσας πλήρωσον, μαρτυρικοῦ σου αἵματος, ἐπὶ σὲ γὰρ οἱ πάντες, ὡς πλεῖστα θαύματα βλύζοντα, τρέχομεν ἐν πόθῳ τῷ ζέοντι.

Ὥσπερ ἀείρροον πηγὴν γινώσκομεν τὸν σὸν Ναὸν τὸν σεπτόν, θαῦμα ἐπὶ θαύματι, ἅπασι προχέοντα, ἐν ἀφθονίᾳ πάντοτε, διὸ δεόμεθά σου ὑπὲρ ἡμῶν πρὸς τὸν Κύριον πρέσβευε.

Μεγαλομάρτυς ἀθλητὰ Γεώργιε, τοὺς σοὺς ἱκέτας πιστοὺς ἐκ παντοίων νόσων, δεομένους λύτρωσαι, ὡς σὲ ἅμα ἐπεκαλέσαντο, καὶ λύτρωσιν ταχεῖαν εὑρήκασιν.

+ Ἀκροστιχίς: Τῷ μεγαλομάρτυρι Γ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ἐκ τῶν καμνόντων πάθη ἀπεδίωξας, τοῦ σώματος καὶ ψυχῆς, φθάνεις γὰρ εἰς πάντας, διὰ τάχους ἔνδοξε, βολάς τε τῶν θαυμάτων σου ἀπαστράπτεις εἰς πάντα, τῆς Οἰκουμένης τὰ πέρατα, λάμπων τοῦ ἡλίου φανώτερον.

*Δόξα.*

Γλῶσσα γηΐνη ἐξειπεῖν οὐ δύναται, τοὺς οἰκτιρμούς σου Σοφὲ, σὺ γὰρ αἰχμαλώτων, ῥύστης σὺ ταχύτατος, καὶ θησαυρὸς πενήτων τε, ἰατρὸς τῶν ἐν νόσοις, καὶ Βασιλέων ὑπέρμαχος, πάντοτε ἑτοίμη βοήθεια.

***Καὶ νῦν.***

Ἡ τετοκυῖα Ἰησοῦν τὸν εὔσπλαγχνον, καὶ μετὰ τόκον ὡς πρὶν, αὖθίς τε παρθένος, ξένον θαῦμα μείνασα, καὶ πάντας διασώσασα, τῷ ἐκ σοῦ γεννηθέντι, γενοῦ πρεσβεία εὐπρόσδεκτος, ὅπως λυτρωθῶμεν κολάσεως.

Διάσωσον ἐκ τῶν κινδύνων τοὺς δούλους.

Ἐπίβλεψον ἐν εὐμενείᾳ, πανύμνητε.

Πρεσβείᾳ τῇ σῇ, Μεγαλομάρτυς Γεώργιε, πάντας ἡμᾶς κολάσεως ἀπάλλαξον, ταῖς λιταῖς σου Ἅγιε, πρὸς Χριστὸν τὸν μόνον φιλάνθρωπον. Σὲ γὰρ προστάτην κεκτήμεθα, ἀθλητῶν ἐγκαλλώπισμα.

*Ὠδὴ ς΄.*

Ἀκτῖσι μαρτυρικαῖς τὴν τοῦ νοὸς ἡμῶν ζόφωσιν, καταύγασον ἀθλητὰ, καταπέμψας ἄνωθεν, ἀνδρείαν καὶ σύνεσιν, ἵνα δυνηθῶμεν, πολεμῆσαι τὸν ἀντίπαλον.

Λίαν εὐφραίνεις πιστοὺς, προσερχομένους τῇ σκέπῃ σου, καὶ θλιβομένους πικρῶς ὑπὸ δεινοῦ δαίμονος, ῥύεις, ὢ τοῦ θαύματος, ἀσθενεῖς δὲ ὅσους τῶν παθῶν σὺ ἠλευθέρωσας.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ὁ παρεστὼς τῷ Θεῷ, μεγαλομάρτυς Γεώργιε, πρεσβεύειν ὑπὲρ ἡμῶν, μὴ παύσῃ δεόμεθα, καὶ γὰρ σοὶ προσπίπτομεν καὶ παρακαλοῦμεν, παῤῥησίαν πλείστην ἔχοντα.

Μεγίστην καταφυγὴν, σὲ οἱ ἀνάξιοι εὕρομεν, οἱ πένητες πλουτισμὸν, ῥύστην οἱ αἰχμάλωτοι, οἱ τυφλοὶ ἀνάβλεψιν, οἱ δὲ ἀπεγνωσμένοι ἀντιλήπτορα θερμότατον.

*Δόξα.*

Ἀντὶ πολλῶν δωρεῶν, ὧν δέδωκας ἡμῖν Ἅγιε, τί προσενέγκωμεν νῦν, οἱ ἀχρεῖοι δοῦλοί σου; ἀλλὰ παριδεῖν ἡμῶν τὸ ἀσθενὲς ἱκεσίαν τε καὶ δέησιν.

*Καὶ νῦν.*

Ἀνύψωσόν μοι τὸν νοῦν, ὑπεραγία Θεόνυμφε, ἐκ τοῦ βυθοῦ τῶν κακῶν, κἀμὲ ἀνακάλεσαι, εἰς ὀρθὴν μετάνοιαν, ὅπως ὁ υἱός σου, εὐμενῶς κἀμὲ προσδέξηται.

Διάσωσον ἐκ τῶν κινδύνων τοὺς δούλους σου, Ἀθλοφόρε, ὅτι πάντες μετὰ Θεὸν πρὸς σὲ καταφεύγομεν, ὡς μέγαν προστάτην παντὸς τοῦ Κόσμου.

Ἄχραντε ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον.*

Προστασία τῶν χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν ποιητὴν ἀμετάθετε, μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνὰς, ἀλλὰ πρόφθασον ὡς ἀγαθὴ εἰς τὴν βοήθειαν ἡμῶν τῶν πιστῶς κραυγαζόντων σοι, τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεὶ Θεοτόκε τῶν τιμώντων σε.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Εἶτα τὸ Α΄. Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ Δ΄. Ἦχου.

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη, ἀλλ' αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου. (Δίς).

Οἱ μισοῦντες Σιὼν αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμμένοι. (Δίς).

*Δόξα.*

Ἁγίῳ Πνεύματι, πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται λαμπρύνεται, τῇ Τριαδικῇ μονάδι ἱεροκρυφίως.

*Καὶ νῦν.*

Ἁγίῳ Πνεύματι ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τὴν κτίσιν πρὸς ζωογονίαν.

Καὶ εὐθὺς τὸ προκείμενον.

Δίκαιος ὡς φοίνιξ ἀνθήσει καὶ ὡς ἡ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

*Στίχος.* Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου. Ὁ ἱερεύς.

*Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς.*

**Εὐαγγέλιον.**

Ἐκ τοῦ κατὰ Λουκᾶν. Κεφ. ΚΑ΄. 12. 20.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· προσέχετε ἀπὸ τῶν ἀνθρώπων, ἐπιβαλοῦσι γὰρ ἐφ' ὑμᾶς τὰς χεῖρας αὐτῶν, καὶ διώξουσι, παραδιδόντες εἰς συναγωγὰς καὶ φυλακὰς ἀγομένους ἐπὶ Βασιλεῖς καὶ ἡγεμόνας, ἕνεκεν τοῦ ὀνόματός μου· ἀποβήσεται δὲ εἰς μαρτύριον. Θέσθε οὖν εἰς τὰς καρδίας ὑμῶν μὴ προμελετᾶν ἀπολογηθῆναι· ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν, οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμεναι ὑμῖν. Παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων καὶ ἀδελφῶν καὶ συγγενῶν καὶ φίλων καὶ θανατώσουσιν ἐξ ὑμῶν

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου, καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται· ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσεσθε τὰς ψυχὰς ὑμῶν.

*Δόξα.* Ταῖς τοῦ ἀθλοφόρου.

*Καὶ νῦν.* Ταῖς τῆς Θεοτόκου.

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα.

Ἅγιε Γεώργιε, Μεγαλομάρτυς Κυρίου, ὑπὲρ τῶν ὑμνούντων σε πρέσβευε, δεόμεθα πρὸς Κύριον· λύτρωσαι θλίψεων, πειρασμῶν, κινδύνων, καὶ παντοίων περιστάσεων τοὺς προσκυνοῦντάς σε πίστει ἀδιστάκτῳ, πολύαθλε· πάντοθεν πολεμούμενοι σὲ παραμυθίαν ἔχομεν πάντες· οἴκτειρον οὖν, σῶσον, βοήθησον τοῖς δούλοις σου ἡμῖν, καὶ μὴ παρίδῃς τὴν δέησιν τῶν παρακαλούντων σε.

Ὁ ἱερεύς. Σῶσον ὁ Θεὸς τὸν λαόν σου.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

*Ὠδὴ Θ΄.* Ἐξέστη ἐπὶ τούτῳ.

Ῥυσθῆναι ἐκ πταισμάτων παντοδαπῶν, τῷ ναῷ σου προσφεύγομεν, Ἅγιε, ῥέει καὶ γάρ, Νεῖλος ὥσπερ ἄλλος, ῥεῖθρα ζωῆς, κρουνούς τε τῶν ἰάσεων, ἅπασι προχέει διηνεκῶς· διό σου τὴν εἰκόνα χείλεσιν ἀναξίοις ἀσπαζομένους καθαγίασον.

Τοὺς πόθῳ σε γεραίροντας, Ἀθλητά, ἐπιτελοῦντας τε μνήμην, Ἀοίδιμε, σοῦ τὴν σεπτήν, σῶζε, φρούρει, φύλαττε ἀσφαλῶς, τὸ ὄνομά σου, Ἅγιε, ἐπικαλουμένους τὸ θαυμαστόν, ψυχῶν τὴν σωτηρίαν, σωμάτων θεραπείαν μὴ διαλείπῃς παρεχόμενος.

Ὑστέροις ἐν τοῖς χρόνοις τὴν σὴν Μονήν, βουληθεὶς ἀνεγεῖραι, θαυμάσιε, ὄναρ τινὶ ὤφθης τὴν εἰκόνα σου ἀνευρεῖν, καὶ ταύτην διὰ θαύματος, παραδοξοτέρου σὺ φανεροῖς, ἣν προσκυνοῦντες, αἰτούμεθα πρεσβεύειν ὑπὲρ ἡμῶν ἀεὶ πρὸς Κύριον.

Ρανίδας τῶν δακρύων, θαυματουργὲ, μὴ παρίδῃς ὁ φέρων τὰ τρόπαια κατὰ ἐχθροῦ, πάντων πολεμήτορος τοῦ δεινοῦ· ἀλλ᾽ ἱκεσίας πρόσδεξαι, πάντων τῶν παρόντων τὰς ἐκτενεῖς, Γεώργιε παμμάκαρ, Χριστοῦ μεγαλομάρτυς, ἵνα σε πόθῳ μεγαλύνωμεν.

*Δόξα.*

Ἱκέσιόν μου δέησιν ὁ πολὺς, ἐν τοῖς θαύμασι, μάρτυς Γεώργιε, δέξαι θερμὴν, ὅτι κινδυνεύω ἐν πειρασμοῖς· καὶ δώρησαί μοι, Ἅγιε, τῶν ἁμαρτημάτων ἀπαλλαγὴν, τῷ βίῳ ἡσυχίαν, ψυχῆς τὴν σωτηρίαν, καὶ νοσημάτων ἀπολύτρωσιν.

*Καὶ νῦν.* **Θεοτοκίον.**

Γεωργίῳ σὺν μάρτυρι τῷ κλεινῷ, ἱκετεύουσα, κόρη Θεόνυμφε, τὸν σὸν υἱὸν, ῥῦσαί με κολάσεως φοβερᾶς, ζωῆς δέ με ἀξίωσον τῆς ἐν βασιλείᾳ τῶν οὐρανῶν· ἧς, Κύριε Θεέ μου, διάδοχόν με δεῖξον, κατὰ τὸ πλούσιόν σου ἔλεος.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς μακαρίζειν σε τὴν **Θεοτόκον** τήν.

Ἄστρον ἀνατέταλκε φαεινὸν ἐκ τῆς Καππαδόκων ὁ πολύαθλος τοῦ Χριστοῦ μάρτυς, καὶ φωτίζει πιστῶν ἅπαν τὸ πλῆθος, Γεώργιος ὁ μέγας, ὃν νῦν γεραίρομεν.

Τὸν Μεγαλομάρτυρα τοῦ Χριστοῦ, καὶ τροπαιοφόρον, καὶ ἐν πᾶσι θαυματουργὸν, τὸν ὑπὲρ ἀγάπης Χριστοῦ ἐνηθληκότα, Γεώργιον τὸν μέγαν, πάντες τιμήσωμεν.

Μάρτυς ἀθλοφόρε θαυματουργὲ, ὑπὲρ τοῦ λαοῦ σου ἐξαιτουμένου ἱλασμὸν, λύτρωσαι κινδύνων, τοὺς ἐπικαλουμένους τὸ ὄνομα τὸ θεῖόν σου καὶ ἐξαίσιον.

Φύλαττε καὶ σκέπε ταῖς σαῖς λιταῖς, Χαράλαμπες μάρ-

τυς, ὡς τὴν χάριν ταύτην λαβών, ἡμᾶς ἐκ παντοίων νόσων τε καὶ κινδύνων καὶ λοιμικοῦ θανάτου, ὅπως ὑμνῶμέν σε.

Πᾶσαι τῶν ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ ἅγιοι πάντες μετὰ τῆς Θεοτόκου καὶ πάντων τῶν ἁγίων ποιήσατε πρεσβείαν εἰς τὸ σωθῆναι ἡμᾶς.

Εἶτα, *Τρισάγιον*.

Ἀπολυτίκιον τοῦ Ἁγίου.

Ὡς τῶν αἰχμαλώτων ὁ ἐλευθερωτής.

Ὁ δὲ ἱερεὺς μνημονεύει ὡς σύνηθες.

Ψάλλομεν ἐν τῷ τέλει καὶ τὰ παρόντα τροπάρια.

Ἦχος Β'.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Πάντων προσδραμόντων, Ἀθλητά, πίστει τῇ θερμῇ ἀντιλήψει τῆς προστασίας σου, ἀθλοφόρε ἔνδοξε θαυμάσιε Γεώργιε, προστατεύεις δωρούμενος αἰτήματα τάχος ταῖς πρὸς τὸν οἰκτίρμονα λιταῖς σου ἔνδοξε, ὅθεν δυσωποῦμέν σε μάκαρ, οἴκτειρον ἡμᾶς ἱκετεύων Θεὸν τὸν παντάνακτα, ἀοίδιμε.

## *Εὐχὴ*

Λεγομένη ἐπὶ τῶν προσερχομένων καὶ ἀφιερωθέντων εἰς τὴν χάριν, σκέπην, καὶ βοήθειαν τοῦ Ἁγίου ἐνδόξου μεγαλομάρτυρος Γεωργίου τοῦ τροπαιοφόρου, καὶ λαμβανόντων κώδωνας.

Ποιεῖ ὁ ἱερεὺς Εὐλογητὸν, εἶτα, Τρισάγιον, ὅτι σοῦ ἐστιν, καὶ τὸ Ἀπολυτίκιον, Ὡς τῶν αἰχμαλώτων.

Τοῦ Κυρίου δεηθῶμεν.

Πάτερ ἅγιε, ἰατρὲ τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, ὁ πέμψας τὸν μονογενῆ σου Υἱὸν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, πᾶσαν νόσον ἰώμενον, καὶ ἐκ θανάτου λυτρούμενον, αὐτὸς οὖν, φιλάνθρωπε Βασιλεῦ, πάρεσο καὶ νῦν, διὰ πρε-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

σβειῶν τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος Γεωργίου τοῦ τροπαιοφόρου καὶ ἴασαι τὸν δοῦλόν σου (τόνδε) τὸν καταξιωθέντα ἐλθεῖν καὶ ἀφιερωθῆναι ὑπὸ τὴν σκέπην του· ἀπάλλαξον ἐκ τῆς περιεχούσης αὐτὸν ψυχικῆς τε καὶ σωματικῆς ἀσθενείας, διὰ τῆς χάριτος τοῦ Χριστοῦ σου· καὶ ζωοποίησον αὐτὸν, κατὰ τὸ σοὶ εὐάρεστον, ὅπως τὴν ὀφειλομένην σοι εὐχαριστίαν καὶ προσκύνησιν ἐν ἀγαθοεργίαις ἀποπληροῖ, πρεσβείαις τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου τοῦ τροπαιοφόρου καὶ πάντων σου τῶν ἁγίων. Ὅτι σὺ εἶ ἡ πηγὴ τῶν ἰαμάτων, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## *Εὐχή.*

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὰ χρόνια καὶ δεινὰ πάθη λόγῳ μόνῳ θεραπεύσας, ὁ τὴν πενθερὰν Πέτρου πυρέσσουσαν ἰασάμενος, αὐτὸς καὶ νῦν, Δέσποτα, διὰ πρεσβειῶν τοῦ Ἁγίου ἐνδόξου μεγαλομάρτυρος Γεωργίου τοῦ τροπαιοφόρου ἀπάλλαξον καὶ ἐλευθέρωσον τὸν δοῦλόν σου (τόνδε) ἀπὸ τῆς συνεχούσης αὐτὸν μάστιγος· ὁ παιδεύων συμπαθῶς, καὶ ἰώμενος ἀγαθῶς, ὁ πᾶσαν νόσον καὶ μαλακίαν ἀφαιρεῖσθαι δυνάμενος, ἀνάστησον αὐτὸν ἀπὸ κλίνης ὀδυνηρᾶς, καὶ ἀπὸ στρωμνῆς κακώσεως, ἐπιθεὶς τὸ φάρμακον τοῦ ἐλέους σου. Παράσχου τελείαν ἴασιν καὶ ὑγείαν. Ὅτι σὺ εἶ ὁ ἰατρὸς τῶν σωμάτων καὶ τῶν ψυχῶν ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# ΤΑ ΤΗΣ ΕΥΡΕΣΕΩΣ

## ΤΗΣ ΑΓΙΑΣ ΕΙΚΟΝΟΣ ΑΥΤΟΥ.

---

Ἐὰν εἶναι ἀληθὲς ὅτι τὰ μεγάλα καὶ θαυμαστὰ γεγονότα, δι' ὧν ὁ Κύριος τοῦ παντὸς τὰς θείας αὐτοῦ θελήσεις ἐνδείκνυται τῷ κόσμῳ, γίνονται κατάδηλα διὰ τῶν μικρῶν καὶ ἀσθενῶν ἐκείνων μοχλῶν, οἵτινες τὸν μυκτηρισμὸν καὶ τὴν ἀπογοήτευσιν τοῖς μὴ ἐν τῷ χριστιανισμῷ καθαρῶς καὶ ὡς δεῖ ἀνατραφεῖσιν ἐπάγονται «ἡ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται» (Παῦλ. Κορ. 11, κεφ. XII. 9), ποῦ ἀλλαχοῦ σάρκα καὶ ὀστᾶ ἡ τοιαύτη δύναμις λαμβάνει εἰ μὴ εἰς τὴν προκειμένην ταύτην περίπτωσιν, καθ' ἣν ἀνεφάνη ἐκ τῆς γῆς ἡ τεθαμμένη ἐπὶ χρόνον ἄγνωστον καὶ μακρὸν θαυματουργὸς ἐκείνη εἰκών, ἡ τὸν Τροπαιοφόρον Γεώργιον περιφανῆ καὶ περίδοξον ἀναγράφουσα καὶ τοῖς προσπελάζουσι μετὰ καρδίας καθαρᾶς ἄφθονον τὴν ἴασιν καὶ τὴν χάριν ἀναδιδοῦσα; Ὡς ἀνεξιχνίαστοι αἱ βουλαὶ τοῦ Ὑψίστου! Ἐνώπιον τῆς ὕψου αἰωρουμένης ταύτης θείας γνώσεως πάντα τὰ γήϊνα σιγῶσι, καὶ τὰ φθαρτὰ τρέμουσιν, ἀναλογιζόμενα τὸ βάθος τῶν νοημάτων καὶ τὸ κάλλος τὸ μυστηριῶδες, δι' ὧν ὁ Θεὸς τὰ τέκνα αὐτοῦ καλεῖ παρ' ἑαυτῷ. Σφαδάζει ὁ γεωλόγος διὰ τῶν γεωλογικῶν αὐτοῦ λόγων καὶ ἀποδείξεων μὴ δυνάμενος νὰ συμβιβάσῃ τὰ ἀσυμβίβαστα· ἀποδυσπετεῖ ὁ χημικός, διότι ἐν τῇ ὀξειδώσει του καὶ ποικίλῃ ἐρεύνῃ του οὐδαμοῦ νόμους τοιούτους εὑρίσκει· ἀπορεῖ ὁ φιλόσοφος, καθόσον οἱ νόμοι τοῦ λόγου καὶ τῆς σοφίας του οὐδαμῶς συνέρχονται καὶ οὐδὲν ἐπομένως τὸ ἐξαγόμενον προσάγουσιν, διότι οὔτε οἱ νόμοι τῆς ἐπαγωγῆς, ἀλλ' οὔτε τῆς κρίσεως

προσιδιάζουσιν εἰς τὴν προκειμένην περίπτωσιν. Χάνονται λοιπὸν καὶ πλέουσιν ἄνευ πηδαλίου καὶ πυξίδος εἰς τὰ τοιούτου εἴδους ζητήματα, ὅρμον καὶ λιμένα μὴ δυνάμενοι ν' ἀνακαλύψωσιν.

Πόσον ὅμως ὁ εὐσεβὴς χριστιανός, ὁ τὸ ἄδολον γάλα γευσάμενος τῆς κοινῆς ἡμῶν Μητρὸς Ἐκκλησίας, χαίρει καὶ σκιρτᾷ ἐν ἀγαλλιάσει, ἀποκαλύπτων τὴν κεφαλὴν αὐτοῦ ἐνώπιον τῆς πανσθενουργοῦ δυνάμεως τοῦ Θεοῦ, καὶ ἀποδέχεται ἐν ἀγκάλαις ἀνοικταῖς τὰ θεῖα ἐκεῖνα δωρήματα, ἅτινα καὶ τὴν πίστιν αὐτοῦ ἑδράζουσι καὶ νέαν ῥώμην καὶ ἰσχὺν αὐτῷ δίδουσι διὰ τὴν περαιτέρω ζωὴν τὴν τλήμονα τοῦ κόσμου τούτου, τῆς κοιλάδος ταύτης τοῦ κλαυθμῶνος καὶ τῶν δακρύων. Δὲν χάσκει καὶ ἀπορεῖ, δὲν συνέχεται φόβῳ καὶ ταραχῇ, δὲν θεωρεῖ ἀσυμβίβαστα τὰ ὕπαρξιν καὶ ζωὴν καὶ συμβιβασμὸν δεικνύοντα ἐμπράκτως καὶ φανερῶς, πλὴν τῶν τυφλωττόντων ἐκ προθέσεως, ἀλλὰ πλήρης θείου ἔρωτος ἁγνοῦ, πλήρης ἀφοσιώσεως ἱερᾶς, μεστὸς ἀγάπης οὐρανίου κλίνει γόνυ καὶ δοξάζει καὶ εὐλογεῖ καὶ αἰνεῖ καὶ παρακαλεῖ ἐν πνεύματι τεταπεινωμένῳ καὶ συντετριμμένῃ καρδίᾳ τὸν *Θεόν*, ἐπιφωνῶν μετὰ τοῦ ἀποστόλου Παύλου, ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ, ὡς ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ καὶ ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ!

Μηδαμῶς λοιπὸν χεὶρ ἀμύητος καὶ ἄξεστος προσψαυέτω. Μηδαμῶς χεῖλος δυσσεβὲς προσεγγιζέτω· μηδαμῶς, ναί, μηδ' ἐπ' ἐλάχιστον νοῦς ἐσκοτισμένος καὶ ἀτάσθαλος ταῦτα μελετάτω, ἀλλὰ καρδία χριστιανική, ἐν τῇ κολυμβήθρᾳ τῶν ναμάτων τοῦ Εὐαγγελίου βαπτισθεῖσα καὶ τὸν χιτῶνα τῆς ἀφθαρσίας τὸν φωτεινὸν περιβληθεῖσα, ἐκείνη, ναί, προσερχέσθω καὶ ἀσπασθήτω τὸ πολύτιμον κειμήλιον, τὸ μέσον τῆς τοῦ Θεοῦ δυνάμεως καὶ εὐλογίας.

Πολλοὶ βεβαίως κακίζουσι καὶ ὀνειδίζουσιν ἔστιν ὅτε καὶ ἐξυβρίζουσι πολλὰ τῆς Ἐκκλησίας ἔθιμα, ὡς ουτοπίας καὶ κοῦφα, καὶ αὐτὰ καθ' ἑαυτὰ οὐδεμίαν ὠφέλειαν προσιδιάζουσαν αὐτοῖς

κεκτημένα. Ἐντεῦθεν καὶ ὁ πόλεμος ὁ ἄχαρις ἐκεῖνος καὶ ἀνόητος· καθόσον ὁμοιάζει ὁ πόλεμος οὗτος τὴν δικαστικὴν ἐκείνην ἀπόφασιν, ἥτις ἐξεδόθη ἄνευ τῆς παρατηρήσεως τῶν δικογράφων ἀμφοτέρων τῶν μερῶν, τουθ' ὅπερ πολλῆς βλάβης παραίτιον γίγνεται, οὐχὶ μὲν τόσον δι' αὐτούς, καθόσον δικαιοῦνται νὰ μὴ νοῶσι ταῦτα συνεπείᾳ τῆς στενότητος καὶ τοῦ περιορισμοῦ τοῦ νοῦ αὐτῶν, περὶ πᾶν ἄλλο καταγινομένου ἢ περὶ τὴν ὀρθὴν ἀντίληψιν τῶν περιστοιχούντων αὐτοὺς ἀντικειμένων, ἕωλα πάντα ἡγουμένου καὶ ἀνούσια, ὅσον διὰ τοὺς ἁπλουστέρους τοὺς ἐφιεμένους μὲν μαθεῖν τι, ἀλλὰ στρεβλουμένους ὑπὸ τῶν γαγγραίνῃ ἐοικότων ἐκείνων ἀνθρωπαρίων, τῶν ἐκφαυλιζόντων αὐτοὺς δυστυχῶς καὶ ἐκμυκτηριζόντων πᾶν τὸ δεσμοῦ ἐπιδεόμενον στοιχεῖον τῆς ἔτι ἀστηρίκτου κοινωνίας τῆς κυλινδουμένης ἐν τῷ σκότει τῆς ἀμαθείας καὶ ἡμιμαθείας. Ἀκούουσι περὶ θαύματος καὶ τρέμουσι καὶ φρικιῶσιν, ὡσεὶ προὔκειτο περί τινος ἀκαταλήπτου καὶ ἀκατονομάστου γεγονότος, χώραν λαμβάνοντος παρ' ἡμῖν ἢ λαβόντος, καὶ διαρρηγνύουσι τὰ ἱμάτια αὐτῶν, καθάπερ τὸ πάλαι ὁ πονηρὸς καὶ ἀχρεῖος καὶ ἀσυνείδητος καὶ μωρὸς ἐκεῖνος ἀρχιερεὺς τοῦ Ἰσραηλιτικοῦ ἔθνους, ὁ φαῦλος Καϊάφας (Ματθ. 26. 65).

Ἐπειδὴ δὲ ἐν τῇ πραγματείᾳ ταύτῃ τῇ διὰ τοὺς εὐλογημένους χριστιανοὺς τῆς Μιᾶς, Ἁγίας, Καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας προορισθείσῃ, πραγματείᾳ περὶ τῆς εὑρέσεως τῆς τιμίας εἰκόνος τοῦ Ἁγίου Μεγαλομάρτυρος Γεωργίου τοῦ Κωδωνᾶ ἐν τῇ περικλεεῖ νήσῳ Πριγκίπῳ, θὰ ἦτο καλὸν καὶ λυσιτελές, ἵνα διαλάβωμεν δι' ὀλίγων καὶ περὶ θαυμάτων, ἀπεφασίσαμεν νὰ γράψωμέν τινα, βέβαιοι ὄντες ἐκ τῶν προτέρων ὅτι μετ' ἐνδιαφέροντος οὐ τοῦ τυχόντος θέλουσιν ἀναγνωσθῇ.

Καὶ θαῦμα λέγοντες νοοῦμεν τὴν ἐνέργειαν τοῦ Θεοῦ ἐκείνην, δι' ἧς καθ' ὡρισμένας περιπτώσεις ἀναστέλλεται νόμος τις πρόσκαιρος κατώτερος καὶ ἀντικαθίσταται δι' ἄλλου νόμου ἀνωτέρου, εἴτε προσκαίρου καὶ αὐτοῦ, εἴτε αἰωνίου, ἐπὶ σκοπῷ φανερώσεως

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

τῆς ὑπερφυσικῆς τοῦ Θεοῦ ἐνεργείας εἴτε εἰς τὸν κόσμον ἐν γένει, ὅπως ἑλκύσῃ αὐτὸν εἰς τὴν πίστιν, εἴτε εἰς τοὺς ἁγίους καὶ δικαίους, ὁσάκις θέλῃ νὰ εὐεργετήσῃ τούτους.

Οἱ πρόσκαιροι οὗτοι φυσικοὶ νόμοι ἀντικατέστησαν ἄλλους ἀνωτέρους μετὰ τὴν ἁμαρτίαν τοῦ ἀνθρώπου· ὡς λ. χ. ὁ νόμος τῆς τῆς ἀσθενείας ἐστὶν ἀποτέλεσμα τοῦ προπατορικοῦ ἁμαρτήματος, καὶ ἀντικατέστησε τὸν πρόσκαιρον μὲν καὶ τοῦτον, ἀρχαιότερον δ᾽ αὐτοῦ νόμον τῆς ὑγείας. Ὡσαύτως ὁ νόμος τῆς ζωῆς ἐστὶν ὁ ἀρχικὸς καὶ αἰώνιος, ὁ δὲ τοῦ θανάτου πρόσκαιρος καὶ μεταγενέστερος· ὅστις διὰ τῆς ἁμαρτίας τοῦ Ἀδὰμ εἰσῆλθεν εἰς τὸν κόσμον. Ἑπομένως ὅτε ὁ Σωτὴρ ἡμῶν ἐθεράπευε τοὺς νοσοῦντας καὶ ἀνίστα τοὺς νεκρούς, δὲν ἔκαμνεν ἄλλο ἢ νὰ ἐπαναφέρῃ εἰς ἐνέργειαν τοὺς ἀνωτέρους καὶ ἀρχικοὺς νόμους εἰς ἔνδειξιν τῆς μελλούσης καταργήσεως τῶν σήμερον ἰσχυόντων, καθόσον ὁ Θεὸς ἐκείνους ἠθέλησε, τοὺς δ᾽ ἄλλους κατέστησεν ἀναγκαίους ἡ κακία τοῦ ἀνθρώπου, καὶ ἀντεισήγαγεν ὁ φθόνος τοῦ Διαβόλου, καὶ θέλουσι πάλιν ἐκλείψει, ὅταν ὁ ἔσχατος ἐχθρὸς καταργηθῇ, ὁ θάνατος.

Τὸ θαῦμα λοιπὸν κατὰ τὰ εἰρημένα ἐστὶν ἀπόδειξις θείας παρεμβάσεως εἰς τὰ τοῦ κόσμου, ὡς ἡ ἀστραπὴ ἐξ οὐρανοῦ ἀπόδειξίς ἐστι τῆς ὑπάρξεως ἠλεκτρισμοῦ εἰς τὰ νέφη. Ὡς ἄρσις ὅμως τῶν νῦν ἰσχυόντων νόμων τὰ θαύματα γίνονται οὐχὶ ἁπλῶς καὶ ὡς ἔτυχεν, οὔτε διὰ νὰ εὐχαριστήσωσι τὴν περιέργειαν ἡμῶν, ἀλλὰ διὰ λόγους ἀξίους τῆς τοιαύτης ἐξαιρέσεως τοῦ κανόνος, οὓς προείπομεν, εἴτε δηλ. ὅπως ἑλκύσωσι τὸν κόσμον εἰς τὴν πίστιν, ὡς ἐγένετο ἐπὶ τοῦ Σωτῆρος καὶ τῶν Ἀποστόλων, εἴτε ὅπως χορηγήσῃ ὁ Θεὸς εἰς τοὺς πιστούς, τὰ τέκνα αὐτοῦ, ἄμεσον καὶ ἀποτελεσματικὴν βοήθειαν, ὁσάκις ἤθελε κρίνει τοῦτο σκόπιμον. Ἐὰν δὲ τὴν σήμερον δὲν ἀκούωνται τοιαῦτα αὐθεντικῶς μεμαρτυρημένα, ὅπως εἰς μέρη τινά, αἴτιον τούτου ἐστὶν ὅτι ἡ πίστις ἠσθένησε, καὶ ἡ πρὸς τὸν Θεὸν ἀγάπη ἐψύγη, καὶ διὰ τοῦτο τὰ σημεῖα, ἅτινα προανήγγελλον τὰ μέλλοντα λαμβάνειν χώραν εἰς τοὺς πιστεύοντας

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

(Μαρκ. XVI. 17) δὲν γίνονται σήμερον, διότι οὐδὲ ὡς κόκκος σινάπεως πίστις ὑπάρχει, ἀξία τοιούτων θαυμάτων εὐεργετικῶν. Καὶ τοσαῦτα μὲν περὶ θαυμάτων, μεταβαίνομεν δὲ ἤδη εἰς τὰ περὶ τῆς εὑρέσεως τῆς τιμίας εἰκόνος, τὸν Θεὸν τὸν δίδοντα δύναμιν τοῖς ἀσθενέσιν ἐπικαλούμενοι ἀρωγὸν καὶ προστάτην.

Πολλοὶ οἱ τὸ εὐφρόσυνον καὶ περικαλλὲς τῶν Πριγκιπονήσων γινώσκοντες, αἵτινες, νησσῶν δίκην, λούονται ἐπὶ τῆς μαρμαρυγὴν στίλβουσαν καὶ κάλλος οὐράνιον ἐκχεούσης Προποντίδος· ἐκεῖ ἐπὶ τῆς τελευταίας, τῆς μυροβολούσης, καὶ αὐτὸ δὴ τὸ ὄνομα Πρίγκιπος φερούσης, ἐκεῖ, ἐπὶ τοῦ ὑψηλοτέρου ὄρους, ἱερὸν καθίδρυμα ἵδρυται, τὸν σεβασμὸν καὶ τὴν ἀγάπην τοῦ χριστεπωνύμου πληρώματος ἐπισπῶν· ἐκεῖ, λέγομεν, ἡ τιμία εἰκὼν τοῦ Ἁγίου Μεγαλομάρτυρος Γεωργίου εὕρηται, ἧς ἡ πρώτη ἐμφάνισις ὄντως ἀνερμήνευτος καὶ θεία, ὡς εἰπεῖν, τυγχάνει. Ἐνταῦθα καὶ αὖθις ὁ ἀνθρώπινος νοῦς ἐκπλήττεται, καθορῶν σαφῶς καὶ ἐναργῶς τὴν θείαν πρόνοιαν τὴν καταπλημμυροῦσαν ἀφάτοις δωρήμασι τὰ τέκνα αὐτῆς. Κατακεχωσμένη ὑπὸ τὴν γῆν, ἔνθα τὸ Μονύδριον τουτὶ σήμερον ἵσταται, ἐπὶ αἰῶνας ἀλώβητος ἐτηρήθη καὶ σῶα ὑπὸ πέτρας τινὸς φυλαττομένη ἡ ἁγία καὶ θαυματουργὸς αὕτη εἰκὼν τοῦ Μεγαλομάρτυρος Γεωργίου, τῆς ὁποίας τὰ χαριτόβρυτα ῥεῖθρα ἀρδεύουσι τὰς ψυχὰς πάντων τῶν ἐν πόνοις καὶ στεναγμοῖς μετ' εὐλαβείας προσερχομένων. Ἐνταῦθα ἡ πίστις καταθραύει τῶν δυσσεβῶν τὰς παγίδας· ἐνταῦθα ἡ ψυχή, περιλαμπομένη ταῖς ἀκτῖσι τῆς χάριτος, εὐλογεῖ καὶ ὑμνεῖ τὴν ἄκτιστον κτίσιν καὶ θείοις παρακελεύσμασι βαίνει εἰς τὸν ἀΐδιον αὐτῆς δρόμον. Ἀλλὰ πῶς, καὶ πότε κατ' ἀκρίβειαν, καὶ τίνι ἀπεκαλύφθη, καὶ παρὰ τίνος ἱστορήθη ἡ θεσπεσία αὕτη ἁγία εἰκών; Ὅσον τὰ θαύματα καὶ τὰ θεῖα αὐτῆς δωρήματα καθίστανται ἡμέρᾳ τῇ ἡμέρᾳ ὁρατὰ τοῖς ἀνθρώποις, τοσοῦτον ἡ γνῶσις τῶν πρωτίστων ἀβέβαιος τυγχάνει· ἓν μόνον ἐκ παραδόσεως καὶ ἐξ ἁπλῆς σημειώσεως ὑπάρχει γνωστόν, ποῦ καὶ πῶς εὑρέθη ἡ ἁγία αὕτη εἰκών.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Τριακόσια ἔτη περίπου μετὰ τὴν ἅλωσιν τῆς Κωνσταντινουπόλεως γηραιός τις ποιμὴν καὶ ἐνάρετος ὡδηγήθη ἐξ ἀοράτου φωνῆς ὁμοίας ἐκείνῃ τῶν κωδώνων (ἀλλοτρίας ἄλλως τῆς τοῦ ποιμνίου αὐτοῦ) εἴς τινα πετρώδη μέρη κεκαλυμμένα καὶ ἐστεμμένα ὑπὸ ἀειθαλῶν δένδρων (πευκῶν, τσαμίων). Ἀνασκαφῆς δὲ γενομένης καὶ ἀρθείσης μεγίστης πλακὸς εὑρέθη ἐντὸς τοῦ νῦν ὁρωμένου ἀκατασκευάστου ἁγιάσματος ἡ πάνσεπτος εἰκὼν τοῦ Ἁγίου Μεγαλομάρτυρος Γεωργίου τοῦ Τροπαιοφόρου ἔχουσα περὶ τὸ στῆθος τοῦ ἵππου κώδωνας ἀργυροῦς δι' ἀλύσεως ἀνηρτημένους δώδεκα τὸν ἀριθμόν, καὶ ἐν μεγάλῃ ἀγωνίᾳ ὁ ποιμὴν ὕψωσεν αὐτὴν εἰς τὴν ἐπιφάνειαν, ἔντρομος δὲ καὶ μετὰ δακρύων κατεφίλει αὐτήν. Τὸ ἄνυδρον ἐκεῖνο μέρος ἐκάλυψεν εὐθὺς ὕδωρ πλῆρες ἁγιασμοῦ καὶ ἰαματικὸν παντοίων ἀσθενειῶν. Ἔπειτα ἔσπευσε μετὰ τρόμου καὶ ἀνήγγειλε τὴν εὕρεσιν τῆς εἰκόνος εἰς τοὺς κατοίκους τῆς Νήσου καὶ εἰς τὰ πέριξ, οὗτοι δὲ ἔδραμον πανδημεὶ φέροντες μεθ' ἑαυτῶν τοὺς πάσχοντας ἐκ παντοίων νόσων, οἵτινες ἠσπάζοντο τὴν ἁγίαν εἰκόνα, ἔπινον καὶ ἐλούοντο ἐκ τοῦ ἁγιάσματος καὶ εὐθύς, ὢ τοῦ θαύματος! ἐθεραπεύοντο. Μετὰ σεβασμοῦ δὲ ποιήσαντες ναΐσκον ἐν δεήσεσι καὶ λιτανίαις πνευματικαῖς ἐπὶ τῇ αὐτῇ κοιτίδι ἔθεσαν ταύτην πανευλαβῶς. Ἐντεῦθεν καὶ ἡ ἐπωνυμία Κωδωνᾶς, διὰ τοὺς ἱεροὺς κώδωνας. Ὑπῆρξε δὲ καὶ ἄλλη τις εὐδοκία. Διότι μετὰ τὴν εὕρεσιν τῆς ἁγίας εἰκόνος πλῆθος μέγα Χριστιανῶν ὀρθοδόξων συναθροιζομένων ἐκ τῶν μέσων τοῦ Ἀπριλίου καὶ τὴν ἑορτὴν καὶ τὰ θαύματα ἀναμένον ἐπὶ τῶν ἀσθενούντων ἐτέλει κατ' ἔτος ἱεροπρεπεστάτην πανήγυριν· διότι ἐξ ὅλων τῶν Πριγκιπονήσων, τῆς Κωνσταντινουπόλεως καὶ τῶν πέριξ χωρίων τῆς Βιθυνίας καὶ Θρᾴκης συνέρρεον χριστιανοί, οἱ μὲν χάριν σεβασμοῦ, οἱ δὲ χάριν ἀναρρώσεως διὰ τῶν ὁρατῶν θαυμάτων τοῦ Ἁγίου Γεωργίου εἰς πᾶν εἶδος ἀσθενείας, περὶ τῶν ὁποίων ἀκολούθως θέλομεν ἀναφέρει τινὰ μετὰ συντομίας. Ὁ ποιμὴν οὗτος θεωρῶν τὰ θαύματα τῆς ἁγίας εἰκόνος διέμεινε μέχρι τέλους

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

τοῦ βίου αὐτοῦ εἰς τὸν ναὸν τοῦ Ἁγίου, ὑπηρετῶν αὐτόν. Καρεὶς δὲ καὶ τὸ μοναχικὸν σχῆμα περιβληθεὶς μετωνομάσθη Ἠσαΐας, καὶ ἐνάρετος γενόμενος ἠξιώθη τῆς θείας χάριτος, ὥστε διὰ τοῦ τιμίου Σταυροῦ σταυρόνων τοὺς ἀσθενεῖς ἐν ὀνόματι τοῦ Ἁγίου Γεωργίου ἐθεράπευεν αὐτοὺς καὶ κώδωνα ἤ τι ἄλλο διδοὺς ἐξπέστελλεν ἐν εἰρήνῃ καὶ ἐν εὐλογίᾳ τοῦ Ἁγίου Γεωργίου. Ὁ Ἠσαΐας οὗτος ὁ ἀνακαλύψας τὴν ἁγίαν εἰκόνα, γνωρίζων τὴν τεκτονικὴν ἠθέλησεν ἵνα κτίσῃ ναὸν εὐρύν, τὸν νῦν ὑπάρχοντα. Καὶ ἐπειδὴ ἡ ἐν τούτῳ τῷ μέρει οἰκοδομὴ τοῦ ναοῦ ἦτο ἐμποδισμένη ὑπὸ τῆς Τουρκικῆς κυβερνήσεως, πληροφορηθεὶς ὁ τότε λεγόμενος *Γιανιτσάραγας* τὰ περὶ τῆς οἰκοδομῆς ταύτης, ἔστειλεν ἀνθρώπους καὶ συνέλαβε τὸν ῥηθέντα Ἠσαΐαν, τὸν ὁποῖον μὲ δεδεμένας τὰς χεῖρας ἀπήγαγον εἰς τὰς φυλακὰς τοῦ Σουλτάνου, καὶ τὸν ὁποῖον ἔμελλον νὰ τιμωρήσωσι κατὰ τοὺς τότε ἰσχύοντας νόμους. Διὰ θαύματος ὅμως τοῦ Ἁγίου Γεωργίου ἐβιάσθη ὁ Γιανιτσάραγας νὰ φέρῃ αὐτὸν ἔμπροσθεν αὐτοῦ, διὰ νὰ πληροφορηθῇ τὴν αἰτίαν. Διὰ θαύματος πάλιν ὁ Ἅγιος Γεώργιος ἠπείλησε κακῶς τὸν Γιανιτσάραγαν καὶ ἐζήτει παρ' αὐτοῦ ὀνομαστὶ τὸν καλόγηρον Ἠσαΐαν, ὅπως ἐξαποστείλῃ αὐτὸν εἰς τὸ μέρος του χωρὶς νὰ τὸν ἐνοχλήσῃ εἰς τὸ παραμικρόν. Ταῦτα ἰδὼν ὁ Γιανιτσάραγας εἰς τὸν ὕπνον του, ἔντρομος γενόμενος, ἐζήτησε τὸν Ἠσαΐαν ἐκ τῆς φυλακῆς καὶ ἐξετάσεώς τινος γενομένης ἀπέστειλεν αὐτὸν εἰς τὸ μέρος του διὰ νὰ κάμῃ ὅ,τι δύναται, δοὺς αὐτὸν καὶ ἄδειαν νὰ κτίσῃ ἐκκλησίαν καὶ νὰ βάλῃ κώδωνας· τοῦτο δὲ μαρτυρεῖται καὶ ἐκ τοῦ κωδωνοστασίου, ὅπερ ὑπάρχει ἕως σήμερον ἔκτοτε, ἐνῷ εἰς ἄλλα μέρη τῆς Τουρκίας δὲν ἐσυγχωροῦντο πρὸ τοῦ 1854 νὰ ὑπάρχωσι κώδωνες εἰς τὰς ἐκκλησίας διὰ νὰ κτυποῦν, ὅπως εἰς τὴν Μονὴν ταύτην ἐσήμαινον· διετέλει δὲ ἔκτοτε ἀνενόχλητος. Ἔδωκε δὲ εἰς αὐτὸν καὶ δῶρον χρηματικόν, ἐνῷ δὲν ἦτο ἔθος παρὰ τοῖς Ὀθωμανοῖς (ἐδόθη δὲ ἡ ἄδεια τῆς οἰκοδομῆς τῆς ἐκκλησίας ἐπὶ τῶν ἡμερῶν τοῦ Σουλτὰν Μουρὰτ τοῦ Δ' κατὰ τὸ



ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

+1625 ἔτος 1035 τουρκιστί). Ἀπῆλθε λοιπὸν εὐθὺς ὁ Ἡσαΐας εἰς τὸ Μονύδριόν του καὶ ἐνόσῳ ἔζη, εἰργάζετο πρὸς καλλωπισμὸν αὐτοῦ. Ἀφῆκε δὲ εἰς ἡμᾶς τὰ πλεῖστα ἀρχαιότερα κελλία, ὡς καὶ τὴν ἐκκλησίαν, πάντα ἔργα τῶν χειρῶν αὐτοῦ μετὰ πολλοῦ κόπου ἐξειργασμένα. Τί δὲ πρῶτον, τί δὲ ὕστατον διηγήσεταί τις περὶ τῶν θαυμάτων τοῦ Ἁγίου, ἀπὸ τὸν καιρὸν τῆς εὑρέσεως τῆς εἰκόνος μέχρι τοῦ νῦν; Ἔβλεπέ τις θεραπείας σεληνιαζομένων, ἀπαλλαγὰς δαιμονιζομένων, ἰάσεις φρενοληπτῶν, λύσεις στειρώσεων, ἀναῤῥώσεις χρονικῶν ἀσθενειῶν, καὶ πᾶν ὅ,τι ἐπεκαλεῖτό τις μετὰ πίστεως, προσερχόμενος μετ' εὐλαβείας, ἐλάμβανε διὰ τῆς χάριτος τοῦ Ἁγίου Γεωργίου, καὶ πᾶς ὅστις προσήρχετο μετὰ ἀγώνων ἰατρεύετο, καθὼς ἀναφέρονταί τινα τούτων ἔν τισι σημειώσεσι τοῦ κτίτορος Ἡσαΐου. Γέρων τις συγγενὴς τοῦ κτίτορος πάσχων πρὸ χρόνων 12 ἀπὸ σεληνιασμόν, ἐφέρθη εἰς τὴν εἰκόνα τοῦ Ἁγίου ἀλύσεσι δεδεμένος· μόλις δὲ εἶδεν αὐτὴν καὶ ἤρξατο ἐκβάλλων ἀγρίας φωνὰς ἐπὶ τρεῖς ὥρας. Τούτου δὲ γενομένου, συνέτριψε πάσας τὰς ἀλύσεις καὶ μόνη ἡ ἐπὶ τοῦ λαιμοῦ ἐφαίνετο. Εἰς ἀπελπισίαν δὲ ἐλθόντων πάντων, θεοῦ εὐδοκίᾳ καὶ φωτίσει, ὁ Ἡσαΐας λαμβάνει τὴν ἐπὶ τῆς εἰκόνος ἄλυσιν μετὰ τῶν κωδώνων, καὶ ποιήσας τὸ σημεῖον τοῦ σταυροῦ, ἔβαλεν αὐτὴν ἐπὶ τοῦ ἀσθενοῦς καὶ παρευθὺς διὰ θαύματος τοῦ Ἁγίου μαῦρος καπνὸς ἐξῆλθεν ἐκ τοῦ πάσχοντος, καὶ οὕτως ἰάθη τῆς νόσου. Ἄλλος ἐκ τοῦ χωρίου Κόντζε ἐπὶ 17 ἔτη νενυμφευμένος ἄνευ τέκνων, ἔχων δὲ τὴν προθυμίαν ν' ἀποκτήσῃ τέκνα, ἐν εὐλαβείᾳ ἐλθὼν ὁμοῦ μετὰ τῆς γυναικός του ἐπικαλεῖται πρῶτον τὸν Ἅγιον Γεώργιον, ζητήσας ἐνταὐτῷ τὴν εὐχὴν τοῦ Ἡσαΐου. Ποιήσας δὲ οὗτος δέησιν εἰς τὸν Ἅγιον Γεώργιον, δίδει πρὸς αὐτοὺς ἕνα κώδωνα καὶ μετὰ ἓν ἔτος ἦλθον μὲ τέκνον ἄρρεν καὶ ἐδόξαζον καὶ ὕμνουν τὴν θείαν Πρόνοιαν διὰ τὰ θαυμάσια τοῦ Ἁγ. Γεωργίου. Καὶ ἕτερα πολλὰ θαύματα περιέχει αὕτη ἡ σημείωσις τοῦ ἀειμνήστου Ἡσαΐου, τὰ ὁποῖα παραλείπομεν, διότι καὶ σήμερον ποιεῖ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

περισσότερα θαύματα ὁ Ἅγιος Γεώργιος εἰς τοὺς μετὰ πίστεως καὶ εὐλαβείας προσερχομένους Χριστιανούς. —Τὰ θαύματα τοῦ Ἁγίου, τὰ ἐμπεριεχόμενα εἰς τὴν σημείωσιν ταύτην τὴν εὑρισκομένην εἰς τὴν Κυριαρχικὴν Μονὴν τῆς Λαύρας τῶν Καλαβρύτων, εἰσὶν ἀπερίγραπτα διὰ τὸ πλῆθος αὐτῶν. Τίς δὲ ὁ ἱστορήσας τὴν ἁγίαν εἰκόνα ταύτην; Οὐδεμία ὑπάρχει μαρτυρία περὶ τούτου· ἀλλ' ὅμως ἡ ἁγία αὕτη εἰκὼν εἶναι ὁ αὐτόφωτος μάρτυς τοῦ ποιήσαντος. Ἡ τῶν γεροντοτέρων δὲ τῆς Νήσου παλαιὰ παράδοσις, καθὼς καὶ τῶν κατοίκων καὶ συγγενῶν τοῦ κτίτορος, ἀναβιβάζουσι τὸ ἔργον ἐπὶ τῶν Βυζαντινῶν αὐτοκρατόρων, εἰς τὴν βασίλισσαν Εἰρήνην, ἡ ὁποία εἶχεν εἰς τὸ μέρος τὸ καλούμενον τανῦν *Καμάραι* μοναστήριον γυναικεῖον ἐκτισμένον, καὶ ἐπὶ τῆς εἰκονομαχίας Λέοντος τοῦ Ἰσαύρου. — Ἡ εἰκὼν ἐκρύφθη εἰς τὸ μέρος τοῦτο παρὰ χειρῶν εὐσεβῶν, εἰς ὃ καὶ εὑρέθη παρὰ τοῦ ῥηθέντος Ἡσαΐου τοῦ μοναχοῦ, καθὼς καὶ εἰς τὴν σημείωσίν του ἀναφέρει περὶ τούτου, ὡς καὶ περὶ τοῦ ἔτους, ὅπερ ἡ ἁγία αὕτη εἰκὼν ἔφερε, κατὰ τὴν χρονολογίαν τοῦ ποιήσαντος. Ἐγένετο δὲ αὕτη κατὰ τὸ 305, καὶ ἐκ τούτου εἰκάζομεν ὅτι τῳόντι μετεκομίσθη ἐκ τοῦ ῥηθέντος γυναικείου Μοναστηρίου, τοῦ ὁποίου σώζονται μέχρι τῆς σήμερον πολλὰ ἀρχαῖα ἐρείπια, τὰ ὁποῖα μάλιστα ὑπάρχουν εἰς τὴν κατοχὴν τοῦ Ἁγίου Γεωργίου, παρακεχωρημένα ἀπ' ἀρχῆς παρὰ τῆς Ὀθωμανικῆς ἐξουσίας εἰς τὴν Μονὴν ταύτην, καὶ ὑπάρχουσι μέχρι σήμερον ἀναπόσπαστα κτήματα τοῦ ἱεροῦ τούτου Μοναστηρίου. Λέγουσί τινες ὅτι ἦτο καὶ ἄλλος ναὸς καὶ ἑτέρα ἁγία εἰκών, τῶν Βλαχερνῶν ἐπωνυμουμένη, ἡ ὁποία εὑρίσκεται νῦν ἐντὸς τῆς Μονῆς τοῦ Ἁγίου Γεωργίου. Τί δέ ἄραγε ἐσήμαινον οἱ κώδωνες, οἱ ὁποῖοι εὑρέθησαν ἐπὶ τῆς ἁγίας εἰκόνος τοῦ Ἁγίου Γεωργίου; περὶ τούτου οὐδεμίαν ἄλλην ἀπόδειξιν τῆς εὑρέσεως ἔχομεν, ἢ ὅτι δηλαδὴ ὁ ῥηθεὶς Ἡσαΐας δι' ὁδηγίας κωδωνοφωνίας ἀνεκάλυψε τὴν ἁγίαν εἰκόνα ταύτην ἐπὶ τόσους αἰῶνας κεκαλυμμένην ὑπὸ τὴν γῆν ἐπὶ τῆς στερεᾶς πέτρας. Θαυμαστὴ ἡ χάρις τοῦ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Θεοῦ! διότι ἐπὶ 625 ἔτη διετηρήθη ἡ ἁγία αὕτη εἰκὼν εἰς τὴν ὑγρασίαν τῆς γῆς ὅλως διόλου ἀβλαβής, χωρὶς νὰ ὑποστῇ τὸ ξύλον ἐκ τῆς ὑγρασίας τῆς πέτρας. Μέγας εἶ, Κύριε, καὶ θαυμαστὰ τὰ ἔργα σου! Οἱ δὲ κώδωνες τῇ δυνάμει καὶ ἐνεργείᾳ τοῦ Ἁγίου Μεγαλομάρτυρος Γεωργίου ἐποίησαν καὶ ποιοῦσιν ἀδιακόπως μέχρι σήμερον εἰς τοὺς μετ' εὐλαβείας καὶ πίστεως προσερχομένους χριστιανοὺς πολλὰ καὶ καλὰ ἰάματα. Ἀλλὰ τίς διηγήσεται τὰ θαυμάσιά σου, Ἅγιε Μεγαλομάρτυς Γεώργιε; τίς τὸ ἔλεος σου εἰς τοὺς προσφεύγοντας πρὸς σὲ μετὰ πίστεως; Ἀπερίγραπτά εἰσι τὰ σὰ θαυμάσια τὰ γινόμενα τοῖς ἀσθενέσιν!

**Τέλος καὶ τῷ Θεῷ δόξα.**

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
007000023333

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ